## **Tyrt. fr. 10 W.**[2] **(= frr. 6s. Gent.-Pr.)**

(⊗) τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ᾽ ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον·
τὴν δ᾽ αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ᾽ ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ᾽ ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται οὕς κεν ἵκηται,
χρησμοσύνῃ τ᾽ εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ᾽ ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ᾽ ἀτιμίη καὶ κακότης ἕπεται.
εἰ δ᾽ οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί᾽ ὤρη
γίνεται οὔτ᾽ αἰδὼς οὔτ᾽ ὄπις οὔτ᾽ ἔλεος.
θυμῷ γῆς πέρι τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέ͜ων μηκέτι φειδόμενοι.

***

ὦ νέοι, ἀλλὰ μάχεσθε παρ᾽ ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρῆς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ᾽ ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ᾽ ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ᾽ ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ᾽ αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα,
αἰσχρὰ τά γ᾽ ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν,
καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ᾽ ἐπέοικεν,
ὄφρ᾽ ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ,
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ
ζωὸς ἐών, καλὸς δ᾽ ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών. (⊗)

**Metro**: distici elegiaci ($6da_{\wedge}$ hem hem: –⏕–⏕–⁝⏑⁝⏑–⁝⏕–⏕–⏓‖ –⏕–⏕–⁝–⏑⏑–⏑⏑⏓|||); sinizesi: v. 14 ψυχέ͜ων; *correptio ‘epica’*: vv. 7 μετέσσεταῐ οὕς, 11 τοῐ ἀλωμένοῠ οὐδεμί᾽, 12 γίνεταῐ οὔτ᾽, 15 νέοῐ, ἀλλά, 17 καῐ ἄλκιμον; cf. v. 20 γεραῐούς; *varia*: vv. 1 κᾱλόν, 10 ᾰτιμῑη, 24 ᾰποπνείοντ᾽, 30 κᾱλός.

Lycurg. *In Leocr.* 107. Cf. Lys. 2,25, Plat. *Leg.* 630b ‖ **1** ἐνὶ Francke : ἐπὶ codd. ‖ **2** ᾗ **L**(**PMZ**) : τῇ ἑαυτοῦ **NA** ‖ **4** ἀνιηρότατον **B**(**LPMZ**) : ἀνιαρ- **NA** ‖ **7** μὲν **A**[pc] **B**(**LPMZ**) : om. **NA**[ac] ‖ **10** ἀτιμίη **N** : -ία **A** ‖ **11** εἰ δ’ Francke : εἶθ’ codd. : ἴσθ’ vel ἐσθ’ dub. West ‖ **12** γίνεται West : γίγν- codd. | οὔτ’ ὄπις οὔτ’ ἔλεος Bergk : οὔτ’ ὀπίσω τέλος codd. : οὔτ’ ὀπίσω γένεος Ahrens | post hunc versum aliquid deesse suspicatur West ‖ **13** μαχώμεθα **N** : -όμεθα **A** ‖ **14** θνήσκωμεν **B**(**LPMZ**) : -κομεν **NA** | ψυχέων Aldo Manuzio : -άων **NA** ‖ **15** elegiae initium post Heinrich statuerunt edd. pll. ‖ **16** αἰσχρῆς Sauppe : -ᾶς codd. ‖ **17** ποιεῖσθε **NA** : ποιεῖτε **B**(**LPMZ**) ‖ **20** γεραιούς **N** : γηρ- **A** ‖ **21** γὰρ δὴ **N** : μὲν γὰρ δὴ **A** ‖ **28** ἐρατῆς **MZ** : ἀρετ- **NA** ‖ **29** θηητὸς Reiske : θνητοῖσιν codd.